ἔξω καθ' αὑτὴν ⟨καὶ⟩ διδοῦσαν τιτθίον,
ὥσθ' ὅτι μὲν αὐτῆς ἐστι τοῦτο γνώριμον
εἶναι· πατρὸς δ' ὅτου ποτ' ἐστίν, εἴτ' ἐμὸν
εἴτ' — οὐ λέγω δ', ἄνδρες, πρὸς ὑμᾶς τοῦτ' ἐγώ,
οὐχ ὑπονοῶ, τὸ πρᾶγμα δ' εἰς μέσον φέρω
ἅ τ' ἀκήκο' αὐτός, οὐκ ἀγανακτῶν οὐδέπω.
Σύνοιδα γὰρ τῷ μειρακίῳ, νὴ τοὺς θεούς,
καὶ κοσμίῳ τὸν πρότερον ὄντι χρόνον ἀεὶ
καὶ περὶ ἔμ' ὡς ἔνεστιν εὐσεβεστάτῳ.
Πάλιν δ' ἐπειδὰν τὴν λέγουσαν καταμάθω
τίτθην ἐκείνου πρῶτον οὖσαν, εἶτ' ἐμοῦ
λάθρᾳ λέγουσαν, εἶτ' ἀποβλέψω πάλιν
εἰς τὴν ἀγαπῶσαν αὐτὸ καὶ βεβιασμένην
ἐμοῦ τρέφειν ἄκοντος, ἐξέστηχ' ὅλως.
I³ Ἀλλ' εἰς καλὸν γὰρ τουτονὶ προσιόνθ' ὁρῶ
τὸν Παρμένοντ' ἐκ τῆς ἀγορᾶς· ἐατέον
αὐτὸν παραγαγεῖν ἐστι τούτους οὓς ἄγει. :

ΠΑΡΜΕΝ]ΩΝ

Μάγειρ', ἐγώ, μὰ τοὺς θεούς, οὐκ οἶδα σὺ
ἐφ' ὅ τι μαχαίρας περιφέρεις· ἱκανὸς γὰρ εἶ